**0345-0407 - Iohannes Chrysostomus - In saltationem Herodiadis**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 232 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

[00001] In saltationem Herodiadisὰ

[00002] Εἰς τὴν ὄρχησιν τῆς Ἡρωδιάδος, καὶ εἰς τὴν ἀποτομὴν τῆς κεφαλῆς Ἰωάννου τοῦ Προδρόμου καὶ Βαπτιστοῦ.

59.521

[00003] αʹ.

[00004] Ὥσπερ τις ἀνὴρ φιλέρημος ἔν τινι τόπῳ ἀλσώδει ὑπὸ δένδρα σκιαζόμενος, ταῖς τῶν ὀρνέων καλλιφώνοις κλαγ γαῖς, καὶ ταῖς τῶν ὑδάτων εὐήχοις ῥοαῖς κυλινδούμενος πρᾶον ἔχει τὸ φρόνημα, πᾶσιν ἀνθρώποις ὁ τοιοῦτος ἀρέσκει·

[00005] οὕτω καὶ ἡμεῖς ταῖς προλαβούσαις ἡμέραις τῇ πραείᾳ τοῦ Πνεύματος αὔρᾳ παρακαλούμενοι, τὰ περὶ ἐλεημοσύνης ὑμῖν διελεγόμεθα.

[00006] Ὅτε δὲ τὸ Εὐαγγέλιον ἐκήρυξε τὴν Ἡρώδου παραφροσύνην, καὶ γυναικῶν ἀσέλγειαν, καὶ κῶμον ἀνδρῶν παραφρόνων, καὶ τράπε ζαν ἐναγῆ, καὶ δῶρον ἀθέμιτον, καὶ ἔργον ἀνόσιον, καὶ κηδείαν σώματος σεμνοτάτου, ἄλλος ἐξ ἄλλου γεγένημαι.

[00007] Ἐνεὸς γὰρ γίνομαι, ἀγαπητοὶ, ὅταν ὑπ' ὄψιν ἐμαυτοῦ ἀγάγω τὰ ὑπὸ Ἡρώδου γεγενημένα πράγματα·

[00008] εἴ γε ἔστιν ἐκεῖνα λέγειν πράγματα, καὶ μὴ τραύματα, τοῦ [59.522.50] τοιαῦτα δεδρακότος πράγματα.

[00009] Ἐν ἐκείνῳ, φησὶ, τῷ καιρῷ ἤκουσεν Ἡρώδης ὁ τετράρχης τὴν ἀκοὴν Ἰησοῦ, καὶ εἶπε τοῖς παισὶν αὐτοῦ, Οὗτός ἐστιν Ἰωάννης, ὃν ἐγὼ ἀπεκεφάλισα.

[00010] Αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ.

[00011] Ὁμολογεῖ τοῦ προφήτου τὸν φόνον, ὃν οὐ δύ ναται ψεύσασθαι·

[00012] καὶ ᾔδει ὃν ἀπέκτεινεν, ὅτι προφήτης ἐστὶ, καὶ ἀνὴρ δίκαιος.

[00013] Εἰ μὴ γὰρ ἐγίνωσκεν, οὐκ ἂν ἔλεγεν αὐτὸν ἐκ νεκρῶν ἐγηγέρθαι, καὶ διὰ τοῦτο τὰς δυνάμεις ἐν αὐτῷ ἐνεργεῖν.

[00014] Ὢ συνειδήσεως κακῆς·

[00015] ἐπὶ οἱῳδήποτε φόνῳ ὁ αὐτὸς μαρτυρεῖ ἑαυτῷ;

[00016] ὢ συνειδήσεως κακῆς συζώσης ψυχῇ μιαρᾷ, καὶ κολαζούσης ἕως θανά [59.523] του, καὶ μετὰ θάνατον ἀπαραίτητα κρινούσης.

[00017] Καὶ διὰ ποίαν αἰτίαν ἀπέκτεινε τὸν προφήτην;

[00018] Ὅτι κήρυξ τῆς ἀληθείας ἐγένετο, καὶ τὴν παράνομον αὐτοῦ πρᾶξιν διὰ τοῦ ἐλέγχου ἐβούλετο λύειν·

[00019] καὶ ὃν ἔδει ὡς βασιλέα φύλακα εἶναι τῶν ἐντολῶν τοῦ Θεοῦ, αὐτὸς τῇ ἀκηράτῳ τῶν ἡδονῶν ἀταξίᾳ τοὺς νόμους παρέλυε.

[00020] Βασιλεὺς γὰρ ἐκεῖνός ἐστιν, ὁ νόμους δικαίους ἐκπέμ πων, πρῶτον δὲ πράττων, οὐδὲ παραχαράττων.

[00021] Πῶς γὰρ ἂν ἄλλως τὸν ὑπ' αὐτοῦ ἀρχόμενον κόσμον εἰς εὐταξίαν ῥυθμίσειεν, ἐὰν μὴ δικαίοις νόμοις καθάπερ ἡνίαις τὸ δυσήνιον γένος τῶν ἀνθρώπων χαλιναγωγήσῃ;

[00022] Ἡρώδης δὲ βασιλεὺς ὢν οὐ λαῶν, ἀλλ' ἡδονῶν, μᾶλλον δὲ δοῦλος τῶν ἡδονῶν (Ὧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλω ται), οὐ μόνον τὸν νόμον τοῦ Θεοῦ παρέλυεν, ἀλλὰ καὶ φόνον ἀδίκως ἐτέκταινε.

[00023] Καὶ τίνα ἐφόνευσεν;

[00024] Ἄνδρα δί καιον, οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἐγήγερται, καθὼς καὶ ὁ Κύριος ἐμαρτύρησεν·

[00025] ἄνδρα, ὃς ἔρημον ᾤκει, ἔρημον, ἀοίκητον, ἄνυδρον, ἄκαρπον, ἄβατον, ἄδενδρον, ἀβότανον, ἀχλοηφόρον.

[00026] Ἔρημον δὲ ᾤκει ὁ Ἰωάννης, οὐ φεύγων τὸ ὁμόφυλον καὶ συγγενὲς τῶν ἀν θρώπων γένος, ἀλλὰ φεύγων τὸ βλέπειν καὶ ἀκούειν τὰ μυσαρὰ τῶν ἀνθρώπων κακοπραγήματα.

[00027] Οὗτος οὔτε ἔσπειρεν, οὔτε ἐθέρισέ ποτε·

[00028] διὸ οὔτε ἄρτον εἶχεν, οὐκ οἶνον, οὐ τράπεζαν, οὐ κλίνην τὴν τῶν ἡδονῶν ὑπηρέτην, οὐ τὰ μαλακὰ χηνοπλούματα ἐκλύοντα καὶ χαυνοῦντα τῶν ἀνδρογύνων τὰ σώματα, οὐ λυχνίαν εἶχεν, οὐ λύχνον, οὐ τράπεζαν, οὐ σκάμνον, οὐ ποτήριον, οὐ πίνακα.

[00029] Ἔξω γὰρ ὢν τοῦ κόσμου, οὐδενὶ τῶν τοῦ κόσμου ἐκέχρητο.

[00030] Ὤκει δὲ, οὐχ ὑπὸ οἶκον χρυσόροφον, ἀλλ' ὑπὸ πέτραν αὐτόροφον.

[00031] Τούτῳ καὶ τράπεζα, καὶ σκάμνος, καὶ κλίνη τὸ ἔδαφος ἦν, καὶ κρέα αἱ ἀκρίδες, καὶ πλακοῦς τὸ μέλι τὸ ἄγριον·

[00032] τούτῳ φιάλη ἡ τῆς χειρὸς κοτύλη ἐτύγχανε, καὶ οἶνος εὐφροσύνης, τὸ πετρογενὲς καὶ διειδέστατον ὕδωρ.

[00033] Τοῦτον κρατήσας ὁ Ἡρώδης, ἐδέσμει.

[00034] Ὁ γὰρ Ἡρώδης, φησὶ, κρατήσας τὸν Ἰωάννην, ἔδησε, καὶ ἔθετο ἐν φυλακῇ διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίπ που τοῦ ἀδελφοῦ αὐτοῦ.

[00035] Ὢ πράγματος ἀλλοκότου.

[00036] Ἰωάννης τὴν δεδεμένην αὐτοῦ ψυχὴν τῇ σειρᾷ τῆς ἁμαρ τίας διὰ τοῦ ἐλέγχου ἐβούλετο λύειν, κἀκεῖνος τὸν λύοντα ἐδέσμει.

[00037] Ἀλλὰ καὶ εἰ ἐδεσμεῖτο ὁ Ἰωάννης, ἐφθέγγετο, καὶ φυλακιζόμενος ἤλεγχεν·

[00038] ἐπλήρου γὰρ τὸ γεγραμμέ νον·

[00039] Καὶ ἐλάλουν ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυ νόμην.

[00040] Οὐ γὰρ ἐφοβεῖτο τὸν θάνατον ὁ Ἰωάννης, ἀλλ' ἐφοβεῖτο τὴν ἀλήθειαν μὴ λαλῆσαι.

[00041] Τοῦτον ἐφόνευσεν ὁ Ἡρώδης·

[00042] τοῦτον δὲ φονεύσας, οὐχ ἕνα μόνον ἐποίει φό νον, ἀλλὰ καὶ πολλούς.

[00043] Ὁ γὰρ διδάσκαλον καὶ ὠφελητὴν ψυχῶν ἀποκτείνας, οὐχ ἕνα ἀποκτείνει, ἀλλὰ τοσούτους, ὅσους ἂν ζῶν διὰ τοῦ λόγου ἠδύνατο ζωοποιῆσαι.

[00044] Καὶ πότε τοῦτον ἐφόνευσεν;

[00045] Αἰσχύνη τὸ λέγειν, αἰσχύνη δὲ οὐ τῷ λέγοντι, ἀλλὰ τῷ πεποιηκότι τὸν φόνον.

[00046] Γενεσίων γὰρ ἀγομένων τοῦ Ἡρώδου, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσεν αὐτῷ·

[00047] ὅθεν καὶ μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσηται.

[00048] Ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, Δός μοι, φησὶν, ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου.

[00049] Ὢ γενέθλιον κάκιστον, προφήτου ἀποπνέον φόνον, ἀνθ' ὧν ἔδει ἄνδρας ἁγίους εἰς τὴν ἑαυτοῦ τράπεζαν φιλοφρονήσασθαι.

[00050] Οὕτω γὰρ ἂν ἡ ἐστρεβλωμένη ψυχὴ αὐτοῦ διωρθοῦτο.

[00051] Μετὰ γὰρ ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέ ψεις.

[00052] Ἀνθ' ὧν ἔδει χήρας οἰκονομῆσαι, ὀρφανοὺς οἰκτεῖ ραι, ἵνα διὰ πολλῶν καὶ ποικίλων εὐχῶν τὴν ἑαυτοῦ ζωὴν ἄσειστον διατηρήσῃ, νῦν δὲ μετὰ ἀνδρῶν ἀσελγῶν καὶ γυναικῶν ἀσέμνων εὐωχούμενος, οἴνῳ πολλῷ καρωθεὶς, καὶ ὑπὸ γυναικῶν ἀκολάστων χλευασθεὶς, τὸν πρόδρομον τῆς ἡμέρας ὄρθρον Ἰωάννην τῷ φόνῳ διέλυσε·

[00053] τὸν κα λῶς δᾳδουχήσαντα, τὴν λαμπάδα τῆς πίστεως, τὸν λύ χνον τοῦ παντὸς κόσμου Ἰωάννην τῷ φόνῳ συν έτριψε.

[00054] Τοῦτον δὲ τὸν λύχνον συντρίψας ὁ Ἡρώδης, ἑαυτὸν ἐσκότισεν.

[00055] Ἐκείνου γὰρ εἰ καὶ τὸ ὀστράκινον σκεῦος εἰς γῆν διελύετο, ἀλλ' οὖν γε ἡ τοῦ πνεύματος αὐτοῦ φεγγοβόλος λαμπὰς τοῖς ἐν τῷ ᾅδῃ τὸ τῆς πίστεως φέγγος καλῶς ἐδᾳδούχει.

[00056] Προφήτης γὰρ ὢν, καὶ εἰδὼς, ὅτι ἔμελλε τὸν Κύριον αὐτοῦ προλαμβάνειν ἐν τῷ ᾅδῃ, πέμπει πρὸς αὐτὸν τινὰς τῶν μαθητῶν αὐτοῦ, λέγων·

[00057] Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;

[00058] Καὶ οὐκ [59.524] ἀγνοῶν αὐτὸν, ἐπυνθάνετο.

[00059] Πῶς γὰρ ἂν ἠγνόει τὸν Κύριον, ὁπότε αὐτὸν ἐδείκνυε, λέγων·

[00060] Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου;

[00061] πῶς γὰρ ἂν ἠγνόει ὁ καὶ θεατὴς τῆς τοῦ Πνεύματος ἐξ οὐρανοῦ καταβάσεως γεγονὼς, καὶ ἀκουστὴς τῆς τοῦ Πατρὸς φωνῆς περὶ αὐτοῦ λεγούσης·

[00062] Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, εἰς ὃν ηὐδόκησα;

[00063] Ἀλλὰ πυνθάνεται, πῶς;

[00064] Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερος;

[00065] Οὐκ εἶπε, Σὺ εἶ ὁ ἐλθών·

[00066] ἦλθε γὰρ ἐπὶ τῆς γῆς·

[00067] ἀλλὰ, Σὺ εἶ ὁ ἐρχόμενος (δῆλον γὰρ ὅτι ἐν τῷ ᾅδῃ), ἢ ἕτερον προσδοκῶμεν;

[00068] β΄.

[00069] Ἔλεγε γὰρ ἐν ἑαυτῷ ὁ Ἰωάννης, ὅτι Μήποτε βούλεται ἄγγελον ἐνδυναμώσας εἰς τὸν ᾅδην ἐκπέμψαι, τὸ ἑαυτοῦ ἔργον ἐπιτελοῦντα;

[00070] ἢ μήποτε θελήσει τοὺς πάντας μιᾷ φωνῇ ἀναστῆσαι, ὡς ἐπὶ τοῦ Λαζάρου πεποίηκε;

[00071] Διὰ τοῦτο μὴ δυνάμενος κρίνειν τὴν βουλὴν τοῦ Δεσπότου, πυνθάνεται λέγων·

[00072] Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν ἐν τῷ ᾅδῃ;

[00073] Τοῦτον ἀπέκτεινεν ὁ Ἡρώδης.

[00074] Καὶ πῶς ἀπέκτεινε;

[00075] Γενεσίων γὰρ, φησὶν, ἀγομένων, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ.

[00076] Ἄξιον παίγνιον τῆς τοιαύτης τραπέζης.

[00077] Ὅπου γὰρ θρύψις καὶ χλιδὴ καὶ μέθαι καὶ κῶμοι, οὐδὲν βέβαιον, ἀλλὰ πάντα σεσαλευμένα καὶ ἀνάστατα, προμηνύοντα τὴν Ἡρώδου παραφοράν.

[00078] Ἀκούσατε οἱ φιλοθεάμονες τῶν ὀρχηστῶν, οἱ τοῖς πολυστρόφοις ποσὶ τῶν ἐκλελυμένων μειρακίων τοὺς ἑαυτῶν ὀφθαλμοὺς συνηχοῦντες, καὶ τὰς ἑαυτῶν καρδίας τοῖς λελυμένοις σώμασιν αὐτῶν συνεκλύοντες·

[00079] ἀκούσατε, οἷον ὀψώνιον φόνου ἡ πολύγυρος ὄρχησις ἤνθησεν.

[00080] Ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρός φησι·

[00081] Δός μοι ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου.

[00082] Ὦ κακῆς λεαίνης ἀσπιδογέννητον τέκνον·

[00083] οὐ χρυσὸν ἐπεζήτησεν, οὐκ ἄργυρον, οὐ λίθους τιμίους, ἀλλὰ τὴν κεφαλὴν Ἰωάννου.

[00084] Καὶ εἰ μὲν διὰ πίστιν ἐπεζήτησε, πολὺ τιμιωτέρα ἡ κεφαλὴ Ἰωάννου παντὸς χρυσίου καὶ ἀργυρίου καὶ λίθων πολυτελῶν.

[00085] Ἀλλ' οὐκ ἐπεζήτησε διὰ πίστιν, ἵνα τιμήσῃ, ἀλλ' ἵνα τὸν ἔλεγχον ἀποκτείνασα, τῇ μητρὶ χαρίσηται ἄδειαν, τὴν ἐπὶ τῶν κακῶν ἁμαρτίαν.

[00086] Ἀκούσας δὲ Ὁ βασιλεὺς ἐλυπήθη, οὐ διὰ τὸν φόνον τοῦ προφήτου, ἀλλὰ διὰ τὸν φόβον τοῦ ὄχλου, ὅτι πάντες ὡς προφήτην αὐτὸν εἶχον.

[00087] Εἰ γὰρ δι' εὐλάβειαν.

[00088] ἐλυπεῖτο, οὐκ ἂν παρὰ τὴν ἀρχὴν δεσμεύσας αὐτὸν ἐν φυλακῇ ἀπέθετο·

[00089] ἀλλ' ἐλυπήθη διὰ τὸν ὄχλον.

[00090] Καὶ ἦν τότε ἡ ψυχὴ Ἡρώδου ὥσπερ ἐν τῇ θαλάσσῃ πλοῖον ἀπειλημμένον, καὶ πρὸς ἑκάτερον τοῖχον ταλαντεῦον·

[00091] τὸ ποιῆσαι τὸν φόνον διὰ τὸν ὄχλον φοβούμενος, καὶ τὸ μὴ ποιῆσαι τὸν φόνον Διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους μὴ συγχωρούμενος.

[00092] Βαρυνθεὶς δὲ ὁ ἄθλιος ὑπὸ τῆς πρὸς τὴν γυναῖκα πολυφλόγου ἡδονῆς, χρησάμενος δῆθεν τῇ εὐορκίᾳ πρὸς τὴν ἀπολογίαν τοῦ φόνου, Πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην.

[00093] Ὅτι κακόν ἐστι τὸ ὀμνύειν, νῦν μὲν μνημονεύσατε οἱ ἡδέως ὀμνύοντες·

[00094] ἀκούσατε τοῦ Κυρίου λέγοντος, Μὴ ὀμνύειν ὅλως.

[00095] Εἰ γὰρ μὴ ὤμοσε τότε ὁ ἄθλιος, οὐκ ἂν ἠνέσχετο τὸν φόνον ποιῆσαι.

[00096] Ἔδει μὲν οὖν αὐτὸν μηδὲ ὅλως ποιῆσαι·

[00097] ἀλλ' ἐπεὶ ὤμοσε, συνέφερεν αὐτῷ ψευδορκῆσαι·

[00098] ἐν γὰρ κακῶν ἐκλογῇ ἄμεινον ἦν τὸ ἔλαττον δέξασθαι.

[00099] Πέμψας ἀπεκεφάλισεν αὐτόν.

[00100] Ποία χεὶρ ἐτόλμησεν, ἀγαπητοὶ, τῷ ἁγίῳ τραχήλῳ Ἰωάννου προσενέγκαι τὸ ξίφος, ὃν θῆρες ἐν τῇ ἐρήμῳ ᾐδέσθησαν, ὃν λέοντες ἐτρόμαξαν, ὃν κεράσται καὶ δράκοντες καὶ ἀσπίδες ἔφριξαν, ὃν ἄγριαι μέλισσαι διὰ τὴν τοῦ ἀνδρὸς ἁγιότητα καμαρεύουσαι ἔτρεφον;

[00101] Ἐκ γὰρ ποικίλων ἀνθῶν καὶ βοτανῶν, ὡς ἐν ἐρήμῳ ἐρανιζόμεναι τῶν δρόσων τὰς σταγόνας χρυσοειδεῖς, συνυφαίνουσαι αὐτῷ τὸ μέλι προσέφερον.

[00102] Τοῦτον χεὶρ δημία ἀπέτεμεν, οὐ φρίξασα τὸ ἀγγελοειδὲς αὐτοῦ πρόσωπον, οὐδὲ τρομάσασα αὐτοῦ τὸ πρόσωπον στιλπνότητας θεοειδεῖς ἀποπέμπον.

[00103] Ἀλλ' οἶμαι, ὅτι τῇ μέθῃ τοῦ Ἡρώδου σκοτωθεὶς ὁ πεμφθεὶς δήμιος, ξίφος μὲν εἶχεν, ὀφθαλμοὺς δὲ οὐκ εἶχε.

[00104] Καὶ ἐτέμνετο ἡ κεφαλὴ Ἰωάννου (οὐ γὰρ ἔπιέ ποτε οἶνον), καὶ ἐφέρετο ἐπὶ πίνακι ἡ κεφαλὴ Ἰωάννου ἐν τῷ δείπνῳ, καὶ τότε βοῶσα πρὸς Ἡρώδην, Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.

[00105] Καὶ γὰρ καὶ μετὰ θάνατον ὁ δίκαιος ἔζη, καὶ τῆς κεφαλῆς αὐτοῦ ἀποτμηθείσης ἡ φωνὴ ζῇ.

[00106] Ὢ ὠμότης ἀνθρώπου·

[00107] ἐφ' ᾧ ἤσθιε πίνακι τὰ κρέα, ἐπ' ἐκείνῳ κεφαλὴν ἀνδρὸς ἐπετίθει.

[00108] Ὢ παράνομε τύραννε, [59.525] οὐκ ἤρκεσεν ὑπὸ τοῦ πρὸ σοῦ Ἡρώδου ἡ τῶν νεαρῶν τέκνων ἐν Βηθλεὲμ γεγονυῖα σφαγὴ, ὅτε πατέρων καὶ μητέρων ὀλολυγμοὶ ὁμόθρηνοι ζιβύνων ὑπῆρχον ὀξύτεροι;

[00109] ὅτε δακρύων πολυχύτων σταγόνες ἐκ σπλάγχνων ἀναβρύουσαι ἐνίκων πηγάς;

[00110] ὅτε πατέρων στήθη ἐτύπτοντο, καὶ συνεχῆ ἄσθματα μετὰ πόνων ἐκ καρδίας ἐπὶ μυκτήρων ἐπέμπετο;

[00111] ὅτε μητέρες τῶν οἰκείων λαγόνων τὴν χλόην τῶν νηπίων παρὰ καιρὸν μαρανθεῖσαν ἐπένθουν;

[00112] ὅτε καὶ μαζοὶ ῥέοντες γάλα τὴν γῆν ἐλεύκαινον, τῶν ὑφελκόντων νηπίων ἄφνω σφαγέντων;

[00113] ὅτε πατέρων ἀγ-κάλαι τῶν οἰκείων γόνων κεναὶ ἐγίνοντο, καὶ μητέρων μαζοὶ τοὺς ἀπὸ τῶν τρυφερῶν ὀδόντων κνησμώδεις τιτθισμοὺς ἐπεζήτουν;

[00114] Ποῖος γὰρ θὴρ τότε οὐκ ἐπεδάκρυσεν, ὁρῶν φονευόμενα τὰ ἄκακα νήπια ἀδίκως, ἀδόλους ψυχὰς κεκτημένα;

[00115] ὧν αἱ ψυχαὶ τοσοῦτον ἦσαν ἄκακοι, ὅσον καὶ τὰ μέλη αὐτῶν τρυφερὰ ἅτε νηπίων ἐτύγχανε;

[00116] Μὴ γὰρ κἀκεῖνα τὸν πρὸ σοῦ Ἡρώδην ἤλεγξαν, οἷς οὔτε γλῶσσα τρανὴ ὑπῆρχεν, οὔτε ὀδόντες ἐν τῷ στόματι, ἵνα [59.526] τὴν γλῶσσαν τορνεύσαντες, λόγον διὰ χειλέων ἐκπέμψωσιν;

[00117] Οὐκ ἤρκεσεν ἐκείνων ἡ τοσαύτη ὠμότης.

[00118] Ἀλλὰ καὶ σὺ τὸ ἄσπλαγχνον ἐκείνου μιμησάμενος, Ἰωάννην ἀπέτεμες, οὗ μιᾶς τριχὸς οὐκ ἦσθα ἀντάξιος.

[00119] Τοὺς γόνους τῆς Ῥαχὴλ ἀπέσφαξεν ἐκεῖνος, καὶ σὺ τῆς Ἐκκλησίας τὸν παιδευτὴν Ἰωάννην ἀπέτεμες.

[00120] Ποίοις τούτων ἵλεως ἔσομαί σοι;

[00121] λέγει Κύριος.

[00122] Ὢ πόλις αἱμάτων, ἐν ᾗ Ἡρώδης ἐβασίλευσε, καὶ ὁ τούτου ἔκγονος ὁμώνυμος, καὶ τοῖς τρόποις ὅμοιος.

[00123] Οἴμοι, οἱ δοκοῦντες εἶναι τῆς εὐταξίας, οὗτοι ἡγεμόνες τῆς ἀταξίας γεγένηνται.

[00124] Ὑπὸ τῶν τοιούτων ἀρχόμενοι οἱ Ἰουδαῖοι, τὸν φόνον ὑπ' αὐτῶν διδαχθέντες εἰς χριστοκτονίαν συνηλάθησαν, τὸν Ἡσαΐαν ἐνέπρισαν, τὸν Ἱερεμίαν ἀπέκτειναν, τὸν Ναβουθαὶ ἐλιθοβόλησαν, τὸν Ζαχαρίαν ἐφόνευσαν, τὸν Χριστὸν ἐσταύρωσαν.

[00125] Ἀλλ' ἐκείνοις τὸ ἐπὶ τοῖς κακοῖς πένθος καταλείψαντες, ἐπὶ τὸ τῆς μυσταγωγίας φέγγος ἀναδράμωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00126] Ἀμήν.

[00127] ἀὰὰ

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 559 | Α | 0913 | 2 |
| β | 0946 | 36 | Β | 0914 | 4 |
| γ | 0947 | 173 | Γ | 0915 | 2 |
| δ | 0948 | 189 | Δ | 0916 | 0 |
| ε | 0949 | 463 | Ε | 0917 | 5 |
| ζ | 0950 | 25 | Ζ | 0918 | 1 |
| η | 0951 | 143 | Η | 0919 | 1 |
| θ | 0952 | 86 | Θ | 0920 | 3 |
| ι | 0953 | 306 | Ι | 0921 | 1 |
| κ | 0954 | 295 | Κ | 0922 | 16 |
| λ | 0955 | 252 | Λ | 0923 | 1 |
| μ | 0956 | 220 | Μ | 0924 | 4 |
| ν | 0957 | 877 | Ν | 0925 | 1 |
| ξ | 0958 | 23 | Ξ | 0926 | 0 |
| ο | 0959 | 646 | Ο | 0927 | 9 |
| π | 0960 | 240 | Π | 0928 | 12 |
| ϱ | 0961 | 329 | Ρ | 0929 | 0 |
| ς | 0962 | 313 | • | 0930 | 0 |
| σ | 0963 | 263 | Σ | 0931 | 5 |
| τ | 0964 | 629 | Τ | 0932 | 7 |
| υ | 0965 | 177 | ϒ | 0933 | 1 |
| φ | 0966 | 104 | Φ | 0934 | 1 |
| χ | 0967 | 87 | Χ | 0935 | 2 |
| ψ | 0968 | 20 | Ψ | 0936 | 0 |
| ω | 0969 | 124 | Ω | 0937 | 0 |
| ϱ̓ | 8164 | 0 | | | 0 |
| ϱ̔ | 8165 | 3 | Ῥ | 8172 | 1 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 95 | έ | 8051 | 119 | ή | 8053 | 48 | ί | 8055 | 105 | ό | 8057 | 110 | ύ | 8059 | 83 | ώ | 8061 | 34 |
| ὰ | 8048 | 89 | ὲ | 8050 | 27 | ὴ | 80852 | 64 | ὶ | 8054 | 123 | ὸ | 8056 | 103 | ὺ | 8058 | 23 | ὼ | 8060 | 4 |
| ᾶ | 8118 | 5 | | | 0 | ῆ | 8134 | 50 | ῖ | 8150 | 41 | | | 0 | ῦ | 8166 | 84 | ῶ | 8182 | 79 |

| | | | | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ἀ | 7936 | 106 | ἐ | 7952 | 134 | ἠ | 7968 | 5 | ἰ | 7984 | 26 | ὀ | 8000 | 14 | ὐ | 8016 | 89 | ὠ | 8032 | 5 |
| ἁ | 7937 | 6 | ἑ | 7953 | 9 | ἡ | 7969 | 26 | ἱ | 7985 | 11 | ὁ | 8001 | 35 | ὑ | 8017 | 18 | ὡ | 8033 | 5 |
| ἂ | 7938 | 8 | ἒ | 7954 | 0 | ἢ | 7970 | 5 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 4 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 11 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 24 | ἔ | 7956 | 26 | ἤ | 7972 | 8 | ἴ | 7988 | 4 | ὄ | 8004 | 7 | ὔ | 8020 | 6 | ὤ | 8036 | 2 |
| ἅ | 7941 | 1 | ἕ | 7957 | 7 | ἥ | 7973 | 1 | ἵ | 7989 | 5 | ὅ | 8005 | 21 | ὕ | 8021 | 3 | ὥ | 8037 | 1 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 6 | ἶ | 7990 | 19 | | | 0 | ὖ | 8022 | 2 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 2 | | | 0 | ὗ | 8023 | 6 | ὧ | 8039 | 4 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 2 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 1 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 2 |
| ᾅ | 8069 | 5 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 1 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 2 |
| ᾳ | 8115 | 6 | | | 0 | ῃ | 8131 | 10 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 20 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 3 | | | 0 | ῇ | 8135 | 15 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 25 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In saltationem Herodiadis**
**Verborum Omnium Conspectus: 907Verba, quae repetita sunt in 3,543,247 occasionibus**

---

**α** [00003]
**ἀὰὰ** [00127]
**ἄβατον** [00025]
**ἀβότανον** [00025]
**ἀγ κάλαι** [00113]
**ἀγάγω** [00007]
**ἀγαπητοὶ** [00007] [00100]
**ἀγαπητὸς** [00062]
**ἀγγελοειδὲς** [00102]
**ἄγγελον** [00069]
**ἁγιότητα** [00100]
**ἁγίους** [00049]
**ἁγίῳ** [00100]
**ἀγνοῶν** [00058]
**ἀγομένων** [00046] [00075]
**ἄγριαι** [00100]
**ἄγριον** [00031]
**ἄδειαν** [00085]
**ἀδελφοῦ** [00034] [00104]
**ἄδενδρον** [00025]
**ᾅδη** [00055] [00056] [00067] [00072]
**ᾅδην** [00069]
**ἀδίκως** [00022] [00114]
**ἀδόλους** [00114]
**ἀθέμιτον** [00006]
**ἄθλιος** [00092] [00095]

**αἱ** [00010] [00031] [00115]
**αἱμάτων** [00122]
**αἴρων** [00060]
**Αἰσχύνη** [00045]
**αἰσχύνη** [00045]
**αἰτήσηται** [00047]
**αἰτίαν** [00017]
**αἰῶνας** [00125]
**αἰώνων** [00125]
**ἄκακα** [00114]
**ἄκακοι** [00115]
**ἄκαρπον** [00025]
**ἀκηράτῳ** [00019]
**ἀκοὴν** [00009]
**ἀκολάστων** [00052]
**ἀκούειν** [00026]
**Ἀκούσας** [00086]
**ἀκούσατε** [00079] [00094]
**Ἀκούσατε** [00078]
**ἀκουστὴς** [00061]
**ἀκρίδες** [00031]
**ἀλήθειαν** [00040]
**ἀληθείας** [00018]
**ἀλλ** [00022] [00030] [00040] [00055] [00085] [00089] [00097]
**Ἀλλ** [00085] [00103] [00125]
**ἀλλὰ** [00022] [00026] [00042] [00043] [00045] [00067] [00077] [00083] [00086]
**Ἀλλὰ** [00037] [00063] [00118]
**ἀλλοκότου** [00035]
**ἄλλος** [00006]
**ἄλλου** [00006]
**ἄλλως** [00021]
**ἀλσώδει** [00004]
**ἅμαρ** [00036]
**ἁμαρτίαν** [00060] [00085]
**ἄμεινον** [00098]
**Ἀμήν** [00126]
**ἀμνὸς** [00060]
**ἀν** [00026]
**ἂν** [00013] [00021] [00043] [00050] [00059] [00061] [00088] [00095]
**ἀναβρύουσαι** [00109]
**ἀναδράμωμεν** [00125]
**ἀνάστατα** [00077]
**ἀναστῆσαι** [00070]
**ἄνδρα** [00025]
**Ἄνδρα** [00024]
**ἄνδρας** [00049]
**ἀνδρογύνων** [00028]
**ἀνδρὸς** [00100] [00107]
**ἀνδρῶν** [00006] [00052]
**ἀνὴρ** [00004] [00012]
**ἀνθ** [00049]
**Ἀνθ** [00052]
**ἀνθρώποις** [00004]
**ἀνθρώπου** [00106]
**ἀνθρώπων** [00021] [00026]
**ἀνθῶν** [00101]
**ἀνόσιον** [00006]
**ἀντάξιος** [00118]
**ἄνυδρον** [00025]
**Ἄξιον** [00076]
**ἀοίκητον** [00025]
**ἀπαραίτητα** [00016]
**ἀπέθετο** [00088]
**ἀπειλημμένον** [00090]
**ἀπεκεφάλισα** [00009]
**ἀπεκεφάλισε** [00092]
**ἀπεκεφάλισεν** [00099]
**ἀπέκτειναν** [00124]
**ἀπέκτεινε** [00017] [00074]
**ἀπέκτεινεν** [00012] [00073]
**ἀπέσφαξεν** [00119]
**ἀπέτεμεν** [00102]
**ἀπέτεμες** [00118] [00119]
**ἀποκτείνας** [00043]
**ἀποκτείνασα** [00085]
**ἀποκτείνει** [00043]
**ἀπολογίαν** [00092]
**ἀποπέμπον** [00102]
**ἀποπνέον** [00049]
**ἀποτμηθείσης** [00105]
**ἀποτομὴν** [00002]
**ἀργυρίου** [00084]
**ἄργυρον** [00083]
**ἀρέσκει** [00004]
**ἄρτον** [00028]
**ἀρχὴν** [00088]
**ἀρχόμενοι** [00124]
**ἀρχόμενον** [00021]
**ἄσειστον** [00052]
**ἀσέλγειαν** [00006]
**ἀσελγῶν** [00052]
**ἀσέμνων** [00052]
**ἄσθματα** [00110]
**ἀσπίδες** [00100]
**ἀσπιδογέννητον** [00082]
**ἄσπλαγχνον** [00118]
**ἀταξίᾳ** [00019]
**ἀταξίας** [00123]
**ἅτε** [00115]
**αὔρᾳ** [00005]
**αὐτῇ** [00047]
**αὐτῆς** [00048]
**αὐτὸν** [00013] [00056] [00058] [00059] [00086] [00088] [00096]
**αὐτόν** [00099]
**αὐτόροφον** [00030]
**Αὐτὸς** [00010]
**αὐτὸς** [00015] [00019]
**αὐτοῦ** [00009] [00018] [00021] [00034] [00036] [00050] [00055] [00056] [00056] [00061] [00102] [00102] [00105]
**αὐτῷ** [00010] [00013] [00046] [00097] [00101]
**αὐτῶν** [00078] [00115] [00124]
**ἄφνω** [00112]
**ἀχλοηφόρον** [00025]

**β** [00068]

**Βαπτιστοῦ** [00002]
**Βαρυνθεὶς** [00092]
**βασιλέα** [00019]
**Βασιλεὺς** [00020]
**βασιλεὺς** [00022] [00086]
**βασιλέων** [00039]
**βέβαιον** [00077]
**Βηθλεὲμ** [00108]
**βλέπειν** [00026]
**βοτανῶν** [00101]
**βούλεται** [00069]
**βουλὴν** [00071]
**βοῶσα** [00104]

**γαῖς** [00004]
**γάλα** [00112]
**γὰρ** [00007] [00013] [00020] [00021] [00029] [00034] [00038] [00040] [00043] [00046] [00050] [00051] [00055] [00056] [00059] [00061] [00066] [00067] [00069] [00075] [00077] [00087] [00095] [00098] [00101] [00104] [00105] [00114] [00116]
**γάρ** [00022]
**γε** [00008] [00055]
**γεγένημαι** [00006]
**γεγενημένα** [00007]
**γεγένηνται** [00123]
**γεγονυῖα** [00108]
**γεγονὼς** [00061]
**γεγραμμέ** [00038]
**γενέθλιον** [00049]
**Γενεσίων** [00046] [00075]
**γεννητοῖς** [00024]
**γένος** [00021] [00026]
**γῆν** [00055] [00112]
**γῆς** [00066]
**γίνομαι** [00007]
**γλῶσσα** [00116]
**γλῶσσαν** [00116]
**γόνους** [00119]
**γόνων** [00113]
**γυναῖκα** [00034] [00092] [00104]
**γυναικῶν** [00006] [00024] [00052] [00052]

**δᾳδουχήσαντα** [00053]
**δακρύων** [00109]
**δὲ** [00006] [00020] [00022] [00022] [00026] [00030] [00042] [00045] [00048] [00052] [00054] [00080] [00086] [00092] [00103]
**δεδεμένην** [00036]
**δεδούλω** [00022]
**δεδρακότος** [00008]
**δείπνῳ** [00104]
**δένδρα** [00004]
**δέξασθαι** [00098]
**δεσμεύσας** [00088]
**Δεσπότου** [00071]
**δῆθεν** [00092]
**δῆλον** [00067]
**δημία** [00102]
**δήμιος** [00103]
**δί** [00024]
**δι** [00087]
**Διὰ** [00071] [00091]
**διὰ** [00010] [00013] [00017] [00018] [00034] [00036] [00043] [00052] [00084] [00085] [00086] [00086] [00089] [00091] [00100] [00116]
**διαστρέ** [00051]
**διατηρήση** [00052]
**διδάσκαλον** [00043]
**διδαχθέντες** [00124]
**διειδέστατον** [00032]
**διελεγόμεθα** [00005]
**διελύετο** [00055]
**διέλυσε** [00052]
**δικαίοις** [00021]
**δίκαιος** [00012] [00105]
**δικαίους** [00020]
**διὸ** [00028]
**διωρθοῦτο** [00050]
**δοκοῦντες** [00123]
**δόξα** [00125]
**Δός** [00048] [00081]
**δοῦλος** [00022]
**δοῦναι** [00047]
**δράκοντες** [00100]
**δρόσων** [00101]
**δύ** [00011]
**δυνάμεις** [00010] [00013]
**δυνάμενος** [00071]
**δυσήνιον** [00021]
**δῶρον** [00006]

**ἐὰν** [00021] [00047]
**ἑαυτὸν** [00054]
**ἑαυτοῦ** [00049] [00052] [00069]
**ἑαυτῷ** [00015] [00069]
**ἑαυτῶν** [00078] [00078]
**ἐβασίλευσε** [00122]
**ἐβούλετο** [00018] [00036]
**ἐγένετο** [00018]
**ἐγηγέρθαι** [00013]
**ἐγήγερται** [00024]
**ἐγίνοντο** [00113]
**ἐγίνωσκεν** [00013]
**ἐγὼ** [00009]
**ἐδᾳδούχει** [00055]
**ἔδαφος** [00031]
**ἔδει** [00019] [00049] [00052]
**Ἔδει** [00096]
**ἐδείκνυε** [00059]
**ἐδέσμει** [00033] [00036]
**ἐδεσμεῖτο** [00037]
**ἔδησε** [00034]
**ἔζη** [00105]
**ἐθέρισέ** [00027]
**ἔθετο** [00034]
**Εἰ** [00013] [00087] [00095]

**εἲ** [00037] [00055] [00084]
**εἴ** [00008]
**εἶ** [00057] [00064] [00065] [00067] [00072]
**εἰδὼς** [00056]
**εἶναι** [00019] [00123]
**εἶπε** [00009] [00065]
**Εἲς** [00002]
**εἲς** [00002] [00021] [00049] [00055] [00062] [00069] [00124] [00125]
**εἶχε** [00103]
**εἶχεν** [00028] [00028] [00103]
**εἶχον** [00086]
**ἐκ** [00013] [00109] [00110]
**Ἐκ** [00101]
**ἑκάτερον** [00090]
**ἔκγονος** [00122]
**ἐκεῖνα** [00008]
**ἐκείνοις** [00125]
**ἐκεῖνός** [00020]
**ἐκεῖνος** [00119]
**ἐκείνου** [00118]
**Ἐκείνου** [00055]
**ἐκείνῳ** [00009] [00107]
**ἐκείνων** [00117]
**ἐκέχρητο** [00029]
**ἐκήρυξε** [00006]
**Ἐκκλησίας** [00119]
**ἐκλελυμένων** [00078]
**ἐκλογῇ** [00098]
**ἐκλύοντα** [00028]
**ἐκπέμ** [00020]
**ἐκπέμψαι** [00069]
**ἐκπέμψωσιν** [00116]
**ἐλάλουν** [00039]
**ἔλαττον** [00098]
**Ἔλεγε** [00069]
**ἔλεγεν** [00013]
**ἔλεγχον** [00085]
**ἐλέγχου** [00018] [00036]
**ἐλεημοσύνης** [00005]
**ἐλεύκαινον** [00112]
**ἐλθών** [00065]
**ἐλιθοβόλησαν** [00124]
**ἐλυπεῖτο** [00088]
**ἐλυπήθη** [00086] [00089]
**ἐμαρτύρησεν** [00024]
**ἐμαυτοῦ** [00007]
**ἔμελλε** [00056]
**ἐν** [00010] [00013] [00024] [00034] [00046] [00055] [00056] [00067] [00069] [00072] [00075] [00088] [00090] [00098] [00100] [00101] [00104] [00108] [00116] [00122] [00125]
**ἓν** [00004]
**Ἐν** [00009]
**ἕνα** [00042] [00043]
**ἐναγῆ** [00006]
**ἐναντίον** [00039]
**ἐνδυναμώσας** [00069]
**Ἑνὸς** [00007]
**ἐνέπρισαν** [00124]
**ἐνεργεῖν** [00013]
**ἐνεργοῦσιν** [00010]
**ἐνίκων** [00109]
**ἐντολῶν** [00019]
**ἐξ** [00006] [00061]
**ἔξεστί** [00104]
**Ἔξω** [00029]
**ἐπ** [00107]
**ἐπεδάκρυσεν** [00114]
**ἐπεζήτησε** [00084] [00085]
**ἐπεζήτησεν** [00083]
**ἐπεζήτουν** [00113]
**ἐπεὶ** [00097]
**ἐπέμπετο** [00110]
**ἐπένθουν** [00111]
**ἐπετίθει** [00107]
**ἐπὶ** [00015] [00048] [00066] [00070] [00081] [00085] [00104] [00110] [00125] [00125]
**ἔπιέ** [00104]
**ἐπιτελοῦντα** [00069]
**ἐπλήρου** [00038]
**ἐποίει** [00042]
**ἐπυνθάνετο** [00058]
**ἐρανιζόμεναι** [00101]
**ἔργον** [00006] [00069]
**ἔρημον** [00025] [00025]
**Ἔρημον** [00026]
**ἐρήμῳ** [00100] [00101]
**ἐρχόμενος** [00057] [00064] [00067] [00072]
**ἐσκότισεν** [00054]
**ἔσομαί** [00120]
**ἔσπειρεν** [00027]
**ἐσταύρωσαν** [00124]
**ἐστὶ** [00012]
**ἐστι** [00093]
**ἐστιν** [00009] [00020] [00062]
**ἔστιν** [00008]
**ἐστρεβλωμένη** [00050]
**ἐτέκταινε** [00022]
**ἐτέμνετο** [00104]
**ἕτερον** [00057] [00067] [00072]
**ἕτερος** [00064]
**ἐτόλμησεν** [00100]
**ἔτρεφον** [00100]
**έτριψε** [00053]
**ἐτρόμαξαν** [00100]
**ἐτύγχανε** [00032] [00115]
**ἐτύπτοντο** [00110]
**Εὐαγγέλιον** [00006]
**εὐήχοις** [00004]
**εὐλάβειαν** [00087]
**εὐορκίᾳ** [00092]
**εὐταξίαν** [00021]
**εὐταξίας** [00123]
**εὐφροσύνης** [00032]
**εὐχῶν** [00052]
**εὐωχούμενος** [00052]
**ἐφ** [00107]
**ἐφέρετο** [00104]
**ἐφθέγγετο** [00037]
**ἐφοβεῖτο** [00040] [00040]

**ἐφόνευσαν** [00124]
**ἐφόνευσεν** [00023] [00041] [00044]
**ἔφριξαν** [00100]
**ἔχει** [00004]
**ἔχειν** [00104]
**ἕως** [00016]

**ζαν** [00006]
**Ζαχαρίαν** [00124]
**ζῇ** [00105]
**ζιβύνων** [00108]
**ζωὴν** [00052]
**ζῶν** [00043]
**ζωοποιῆσαι** [00043]

**ἡ** [00032] [00046] [00050] [00055] [00075] [00079] [00084] [00090] [00104] [00104] [00105] [00108] [00117] [00125]
**ἣ** [00057] [00064] [00067] [00070] [00072]
**Ἡ** [00048] [00080]
**ᾗ** [00122]
**ἡγεμόνες** [00123]
**ἠγέρθη** [00010]
**ἠγνόει** [00059] [00061]
**ᾔδει** [00012]
**ᾐδέσθησαν** [00100]
**ἡδέως** [00093]
**ἡδονῆς** [00092]
**ἡδονῶν** [00019] [00022] [00022] [00028]
**ἠδύνατο** [00043]
**ἤκουσεν** [00009]
**ἤλεγξαν** [00116]
**ἤλεγχεν** [00037]
**ἦλθε** [00066]
**ἡμεῖς** [00005]
**ἡμέραις** [00005]
**ἡμέρας** [00052]
**ἡμῶν** [00125]
**ἦν** [00031] [00090] [00098]
**ἠνέσχετο** [00095]
**ἤνθησεν** [00079]
**ἡνίαις** [00021]
**ἤρεσεν** [00046]
**ἤρκεσεν** [00108] [00117]
**Ἡρώδην** [00104] [00116]
**Ἡρώδης** [00009] [00022] [00033] [00034] [00041] [00054] [00073] [00122]
**Ἡρωδιάδα** [00034]
**Ἡρωδιάδος** [00002] [00046] [00075]
**Ἡρώδου** [00006] [00007] [00046] [00077] [00090] [00103] [00108]
**Ἡσαΐαν** [00124]
**ἦσαν** [00115]
**ἦσθα** [00118]
**ἤσθιε** [00107]
**ᾐσχυ** [00039]
**ἥττηται** [00022]
**ηὐδόκησα** [00062]
**Herodiadisὰ** [00001]

**θαλάσσῃ** [00090]
**θανά** [00016]
**θάνατον** [00016] [00040] [00105]
**θεατὴς** [00061]
**θελήσει** [00070]
**θεοειδεῖς** [00102]
**Θεοῦ** [00019] [00022] [00060]
**θὴρ** [00114]
**θῆρες** [00100]
**θρύψις** [00077]
**θρώπων** [00026]
**θυγάτηρ** [00046] [00075]

**Ἴδε** [00060]
**Ἱερεμίαν** [00124]
**Ἰησοῦ** [00009] [00125]
**ἵλεως** [00120]
**ἵνα** [00052] [00085] [00085] [00116]
**Ἰουδαῖοι** [00124]
**Ἰωάννην** [00034] [00052] [00053] [00092] [00118] [00119]
**Ἰωάννης** [00009] [00026] [00036] [00037] [00040] [00069]
**Ἰωάννου** [00002] [00048] [00081] [00083] [00084] [00100] [00104] [00104]
**In** [00001]

**κα** [00053]
**καθάπερ** [00021]
**καθὼς** [00024]
**καιον** [00024]
**καιρὸν** [00111]
**καιρῷ** [00009]
**κἀκεῖνα** [00116]
**κἀκεῖνος** [00036]
**κακῆς** [00014] [00016] [00082]
**κάκιστον** [00049]
**κακοῖς** [00125]
**κακόν** [00093]
**κακοπραγήματα** [00026]
**κακῶν** [00085] [00098]
**καλλιφώνοις** [00004]
**καλῶς** [00055]
**καμαρεύουσαι** [00100]
**καρδίας** [00078] [00110]
**καρωθεὶς** [00052]
**καταβάσεως** [00061]
**καταλείψαντες** [00125]
**κεκτημένα** [00114]
**κεναὶ** [00113]
**κεράσται** [00100]
**κεφαλὴ** [00084] [00104] [00104]
**κεφαλὴν** [00048] [00081] [00083] [00107]
**κεφαλῆς** [00002] [00105]

**κηδείαν** [00006]
**κήρυξ** [00018]
**κλαγ** [00004]
**κλίνη** [00031]
**κλίνην** [00028]
**κνησμώδεις** [00113]
**κολαζούσης** [00016]
**κόσμον** [00021]
**κόσμου** [00029] [00029] [00053] [00060]
**κοτύλη** [00032]
**κρατήσας** [00033] [00034]
**κράτος** [00125]
**κρέα** [00031] [00107]
**κρίνειν** [00071]
**κρινούσης** [00016]
**κυλινδούμενος** [00004]
**Κύριον** [00056] [00059]
**Κύριος** [00024] [00121]
**Κυρίου** [00094]
**Κυρίῳ** [00125]
**κῶμοι** [00077]
**κῶμον** [00006]

**λαγόνων** [00111]
**Λαζάρου** [00070]
**λαλῆσαι** [00040]
**λαμπάδα** [00053]
**λαμπὰς** [00055]
**λαῶν** [00022]
**λεαίνης** [00082]
**λέγει** [00121]
**λέγειν** [00008] [00045]
**λέγοντι** [00045]
**λέγοντος** [00094]
**λεγούσης** [00061]
**λέγων** [00056] [00059] [00071]
**λελυμένοις** [00078]
**λέοντες** [00100]
**λίθους** [00083]
**λίθων** [00084]
**λόγον** [00116]
**λόγου** [00043]
**λύ** [00053]
**λύειν** [00018] [00036]
**λύοντα** [00036]
**λυχνίαν** [00028]
**λύχνον** [00028] [00054]
**λῶς** [00053]

**μαζοὶ** [00112] [00113]
**μαθητῶν** [00056]
**μαλακὰ** [00028]
**μᾶλλον** [00022]
**μαρανθεῖσαν** [00111]
**μαρτυρεῖ** [00015]
**μεθ** [00047]
**μέθαι** [00077]
**μέθῃ** [00103]
**μείζων** [00024]
**μειρακίων** [00078]
**μέλη** [00115]
**μέλι** [00031] [00101]
**μέλισσαι** [00100]
**μὲν** [00084] [00093] [00096] [00103]
**μέσῳ** [00046] [00075]
**μηδὲ** [00096]
**Μήποτε** [00069]
**μήποτε** [00070]
**μητέρες** [00111]
**μητέρων** [00108] [00113]
**μητρὶ** [00085]
**μητρὸς** [00048]
**μητρός** [00080]
**μιᾷ** [00070]
**μιαρᾷ** [00016]
**μιᾶς** [00118]
**μιμησάμενος** [00118]
**μνημονεύσατε** [00093]
**μοι** [00048] [00081]
**μόνον** [00022] [00042]
**μου** [00062]
**μυκτήρων** [00110]
**μυσαρὰ** [00026]
**μυσταγωγίας** [00125]

**Ναβουθαὶ** [00124]
**ναται** [00011]
**νεαρῶν** [00108]
**νεκρῶν** [00010] [00013]
**νήπια** [00114]
**νηπίων** [00111] [00112] [00115]
**νόμην** [00039]
**νόμοις** [00021]
**νόμον** [00022]
**νόμους** [00019] [00020]
**νον** [00038] [00042]
**νῦν** [00052] [00093]

**ξίφος** [00100] [00103]

**ὁ** [00004] [00009] [00015] [00020] [00024] [00026] [00033] [00037] [00040] [00041] [00054] [00057] [00060] [00060] [00061] [00062] [00062] [00064] [00065] [00067] [00069] [00072] [00073] [00092] [00095] [00103] [00105] [00122]
**ὃ** [00047]
**Ὁ** [00034] [00043] [00086]
**ὀδόντες** [00116]
**ὀδόντων** [00113]

ὅθεν [00047]
οἱ [00078] [00078] [00093] [00123] [00124]
οἰκείων [00111] [00113]
οἶκον [00030]
οἰκονομῆσαι [00052]
οἰκτεῖ [00052]
οἶμαι [00103]
Οἴμοι [00123]
οἶνον [00028] [00104]
οἶνος [00032]
οἴνῳ [00052]
οἷον [00079]
οἷς [00116]
οἱῳδήποτε [00015]
ὀλολυγμοὶ [00108]
ὅλως [00094] [00096]
ὀμνύειν [00093] [00094]
ὀμνύοντες [00093]
ὁμόθρηνοι [00108]
ὅμοιος [00122]
Ὁμολογεῖ [00011]
ὁμόφυλον [00026]
ὁμώνυμος [00122]
ὃν [00009] [00011] [00012] [00019] [00062] [00100] [00100] [00100] [00100]
ὀξύτεροι [00108]
ὁπότε [00059]
Ὅπου [00077]
ὄρθρον [00052]
ὅρκου [00047]
ὅρκους [00091]
ὀρνέων [00004]
ὀρφανοὺς [00052]
ὄρχησιν [00002]
ὄρχησις [00079]
ὀρχηστῶν [00078]
ὁρῶν [00114]
ὃς [00025]
ὁσίου [00051]
ὁσιωθήσῃ [00051]
ὅσον [00115]
ὅσους [00043]
ὀστράκινον [00055]
ὅταν [00007]
ὅτε [00108] [00109] [00110] [00111] [00112] [00113]
Ὅτε [00006]
ὅτι [00012] [00056] [00067] [00069] [00086] [00103]
Ὅτι [00018] [00093]
Οὐ [00040]
οὐ [00011] [00022] [00022] [00026] [00028] [00028] [00028] [00028] [00028] [00028] [00028] [00028] [00028] [00045] [00083] [00083] [00086] [00102] [00104]
οὔ [00024] [00118]
οὐδὲ [00020] [00102]
οὐδὲν [00077]
οὐδενὶ [00029]
Οὐκ [00065] [00104] [00117]
οὐκ [00013] [00024] [00028] [00039] [00058] [00083] [00085] [00088] [00095] [00103] [00108] [00114] [00118]
οὖν [00055] [00096]
οὐρανοῦ [00061]
οὔτε [00027] [00027] [00028] [00116] [00116]
οὗτοι [00123]
Οὗτός [00009] [00062]
Οὗτος [00027]
Οὕτω [00050]
οὕτω [00005]
οὐχ [00030] [00042] [00043]
ὀφθαλμοὺς [00078] [00103]
ὄχλον [00089] [00091]
ὄχλου [00086]
ὄψιν [00007]
ὀψώνιον [00079]

παίγνιον [00076]
παιδευτὴν [00119]
παισὶν [00009]
πάντα [00077]
πάντας [00070]
πάντες [00086]
παντὸς [00053] [00084]
παρὰ [00088] [00111]
παρακαλούμενοι [00005]
παράνομε [00108]
παράνομον [00018]
παραφοράν [00077]
παραφρόνων [00006]
παραφροσύνην [00006]
παραχαράττων [00020]
παρέλυε [00019]
παρέλυεν [00022]
πᾶσιν [00004]
πατέρων [00108] [00110] [00113]
Πατρὸς [00061]
πέμπει [00056]
πεμφθεὶς [00103]
Πέμψας [00092] [00099]
πένθος [00125]
πεποίηκε [00070]
πεποιηκότι [00045]
περὶ [00005] [00061]
πέτραν [00030]
πετρογενὲς [00032]
πηγάς [00109]
πίνακα [00028]
πίνακι [00048] [00081] [00104] [00107]
πίστεως [00053] [00055]
πίστιν [00084] [00085]
πλακοῦς [00031]
πλοῖον [00090]
Πνεύματος [00005] [00061]
πνεύματος [00055]
Ποία [00100]
ποίαν [00017]
ποιῆσαι [00091] [00091] [00095] [00096]
ποικίλων [00052] [00101]
Ποίοις [00120]
Ποῖος [00114]

πόλις [00122]
πολλούς [00042]
πολλῷ [00052]
πολλῶν [00052]
πολὺ [00084]
πολύγυρος [00079]
πολυστρόφοις [00078]
πολυτελῶν [00084]
πολυφλόγου [00092]
πολυχύτων [00109]
πόνων [00110]
ποσὶ [00078]
πότε [00044]
ποτε [00027] [00104]
ποτήριον [00028]
που [00034]
πράγματα [00007] [00008] [00008]
πράγματος [00035]
πραείᾳ [00005]
πρᾶξιν [00018]
πρᾶον [00004]
πράττων [00020]
πρὸ [00108] [00116]
προβιβασθεῖσα [00048] [00080]
πρόδρομον [00052]
Προδρόμου [00002]
προλαβούσαις [00005]
προλαμβάνειν [00056]
προμηνύοντα [00077]
πρὸς [00056] [00090] [00092] [00092] [00104]
προσδοκῶμεν [00057] [00067] [00072]
προσενέγκαι [00100]
προσέφερον [00101]
πρόσωπον [00102] [00102]
προφήτην [00017] [00086]
Προφήτης [00056]
προφήτης [00012]
προφήτου [00011] [00049] [00086]
πρῶτον [00020]
πυνθάνεται [00063] [00071]
πων [00020]
Πῶς [00021] [00059]
πῶς [00061] [00063] [00074]

ραι [00052]
Ῥαχὴλ [00119]
ῥέοντες [00112]
ῥοαῖς [00004]
ῥυθμίσειεν [00021]

σειρᾷ [00036]
σεμνοτάτου [00006]
σεσαλευμένα [00077]
σκάμνον [00028]
σκάμνος [00031]
σκεῦος [00055]
σκιαζόμενος [00004]
σκοτωθεὶς [00103]
σοι [00104] [00120]
σοῦ [00108] [00116]
σου [00104]
σπλάγχνων [00109]
σταγόνας [00101]
σταγόνες [00109]
στήθη [00110]
στιλπνότητας [00102]
στόματι [00116]
στρεβλοῦ [00051]
Σὺ [00057] [00064] [00065] [00067] [00072]
σὺ [00118] [00119]
συγγενὲς [00026]
συγχωρούμενος [00091]
συζώσης [00016]
συν [00053]
συνανακειμένους [00091]
συνειδήσεως [00014] [00016]
συνεκλύοντες [00078]
συνέφερεν [00097]
συνεχῆ [00110]
συνηλάθησαν [00124]
συνηχοῦντες [00078]
συντρίψας [00054]
συνυφαίνουσαι [00101]
σφαγέντων [00112]
σφαγὴ [00108]
σώμασιν [00078]
σώματα [00028]
σώματος [00006]

τὰ [00005] [00007] [00026] [00028] [00028] [00107] [00114] [00115]
ται [00022]
ταῖς [00004] [00004] [00005]
ταλαντεῦον [00090]
τὰς [00013] [00078] [00101]
τέκνον [00082]
τέκνων [00108]
τετράρχης [00009]
τῇ [00005] [00019] [00036] [00085] [00090] [00092] [00100] [00103]
τὴν [00002] [00002] [00006] [00009] [00018] [00028] [00034] [00036] [00040] [00048] [00049] [00052] [00053] [00060] [00071] [00077] [00081] [00083] [00085] [00088] [00092] [00092] [00100] [00104] [00111] [00112] [00116]
τῆς [00002] [00002] [00018] [00032] [00036] [00046] [00048] [00052] [00053] [00055] [00061] [00061] [00066] [00075] [00076] [00080] [00092] [00105] [00119] [00119] [00123] [00123] [00125]
τίας [00036]
τιμήση [00085]
τιμίους [00083]
τιμιωτέρα [00084]
τίνα [00023]
τινὰς [00056]
τινι [00004]
τις [00004] [00022]
τιτθισμοὺς [00113]

**τὸ** [00004] [00006] [00021] [00026] [00026] [00031] [00031] [00031] [00032] [00038] [00045] [00055] [00055] [00069] [00091] [00091] [00093] [00098] [00100] [00101] [00102] [00102] [00118] [00125] [00125] [00125]
**τοιαῦτα** [00008]
**τοιαύτης** [00076]
**τοιοῦτος** [00004]
**τοιούτων** [00124]
**τοῖς** [00009] [00055] [00078] [00078] [00122] [00125]
**τοῖχον** [00090]
**τὸν** [00011] [00017] [00021] [00022] [00034] [00036] [00040] [00045] [00052] [00053] [00053] [00054] [00056] [00059] [00069] [00085] [00086] [00086] [00089] [00091] [00091] [00091] [00092] [00095] [00116] [00119] [00124] [00124] [00124] [00124] [00124] [00124]
**τόπῳ** [00004]
**τορνεύσαντες** [00116]
**τοσαύτη** [00117]
**τοσοῦτον** [00115]
**τοσούτους** [00043]
**τότε** [00090] [00095] [00104] [00114]
**τοῦ** [00002] [00005] [00008] [00011] [00018] [00019] [00022] [00029] [00029] [00034] [00036] [00043] [00046] [00053] [00055] [00060] [00060] [00061] [00061] [00070] [00071] [00086] [00086] [00092] [00094] [00100] [00103] [00104] [00108]
**του** [00016]
**Τοὺς** [00119]
**τοὺς** [00019] [00070] [00078] [00091] [00091] [00113] [00125]
**τοῦτο** [00010] [00013] [00071]
**Τοῦτον** [00033] [00041] [00054] [00073] [00102]
**τοῦτον** [00042] [00044]
**τούτου** [00122]
**Τούτῳ** [00031]
**τούτῳ** [00022] [00032]
**τούτων** [00120]
**τρανὴ** [00116]
**τράπε** [00006]
**τράπεζα** [00031]
**τράπεζαν** [00028] [00028] [00049]
**τραπέζης** [00076]
**τραύματα** [00008]
**τραχήλῳ** [00100]
**τριχὸς** [00118]
**τρομάσασα** [00102]
**τρόποις** [00122]
**τρυφερὰ** [00115]
**τρυφερῶν** [00113]
**τύραννε** [00108]
**τῷ** [00009] [00045] [00045] [00046] [00052] [00053] [00055] [00056] [00067] [00072] [00075] [00100] [00104] [00116] [00125]
**τῶν** [00004] [00004] [00010] [00019] [00019] [00021] [00022] [00026] [00026] [00028] [00028] [00029] [00056] [00078] [00078] [00085] [00101] [00108] [00111] [00111] [00112] [00113] [00113] [00124] [00125]

**ὑδάτων** [00004]
**ὕδωρ** [00032]
**Υἱός** [00062]
**ὑμῖν** [00005]
**ὑπ** [00007] [00021] [00124]
**ὑπηρέτην** [00028]
**ὑπῆρχεν** [00116]
**ὑπῆρχον** [00108]
**ὑπὸ** [00004] [00007] [00030] [00030] [00048] [00052] [00080] [00092] [00108]
**Ὑπὸ** [00124]
**ὑφελκόντων** [00112]

**φεγγοβόλος** [00055]
**φέγγος** [00055] [00125]
**φεύγων** [00026] [00026]
**φησὶ** [00009] [00034]
**φησι** [00080]
**φησὶν** [00048] [00075]
**φιάλη** [00032]
**φιλέρημος** [00004]
**Φιλίπ** [00034]
**φιλοθεάμονες** [00078]
**φιλοφρονήσασθαι** [00049]
**φό** [00042]
**φόβον** [00086]
**φοβούμενος** [00091]
**φονευόμενα** [00114]
**φονεύσας** [00042]
**φόνον** [00011] [00022] [00045] [00049] [00086] [00091] [00091] [00095] [00124]
**φόνου** [00079] [00092]
**φόνῳ** [00015] [00052] [00053]
**φρίξασα** [00102]
**φρόνημα** [00004]
**φύλακα** [00019]
**φυλακῇ** [00034] [00088]
**φυλακιζόμενος** [00037]
**φωνὴ** [00105]
**φωνῇ** [00070]
**φωνῆς** [00061]

**χαλιναγωγήσῃ** [00021]
**χαρίσηται** [00085]
**χαυνοῦντα** [00028]
**χειλέων** [00116]
**χεὶρ** [00100] [00102]
**χειρὸς** [00032]
**χηνοπλούματα** [00028]
**χήρας** [00052]
**χλευασθεὶς** [00052]
**χλιδὴ** [00077]
**χλόην** [00111]
**χνον** [00053]
**χρησάμενος** [00092]
**χριστοκτονίαν** [00124]
**Χριστὸν** [00124]
**Χριστῷ** [00125]
**χρυσίου** [00084]
**χρυσοειδεῖς** [00101]
**χρυσὸν** [00083]
**χρυσόροφον** [00030]

**ψεις** [00051]
**ψευδορκῆσαι** [00097]
**ψεύσασθαι** [00011]
**ψυχαὶ** [00115]

**ψυχὰς** [00114]
**ψυχὴ** [00050] [00090]
**ψυχῇ** [00016]
**ψυχὴν** [00036]
**ψυχῶν** [00043]

**ὢ** [00016]
**Ὢ** [00014] [00035] [00049] [00082] [00106] [00122]
**Ὦ** [00108]
**Ὧ** [00022]
**ᾧ** [00107] [00125]
**ὧδε** [00081]
**ᾤκει** [00025] [00026]
**ὡμολόγησεν** [00047]
**ὤμοσε** [00095] [00097]
**ὠμότης** [00106] [00117]
**ὢν** [00022] [00029] [00056]
**ὧν** [00049] [00052] [00115]
**ὠρχήσατο** [00046] [00075]
**ὡς** [00019] [00070] [00086] [00101]
**ὥσπερ** [00090]
**Ὥσπερ** [00004]
**ὠφελητὴν** [00043]